# Eine neue Fassung des elften Kapitels des VI. Buches von Sokrates' Kirchengeschichte.

Cod. 226 der Bibliothek des Klosters Xeropotamu auf dem Athosberge ist ein aus 293 Blättern bestehender Chartaceus des 15. Jahrhunderts in 4°. Er enthält aufser der Chronik des Michael Glykas, worüber ich unten S. 514 berichte, Sokrates' Kirchengeschichte (f. 57r —293v). Es fehlen der Schlufs und in der Mitte mehrere Blätter. Der vorhandene Teil reicht bis zu den Worten *τοῦτο γνοὺς ὁ Κύριλλος μεταπέμπεται τοὺς τῶν Ἰουδαίων πρωτεύοντας, καὶ ὅσα* (vgl. Mignes Ausgabe Patr. Gr. B. LXVII S. 764A). Die Reihenfolge der Blätter ist von f. 211 an recht verworren, so dafs man sie folgendermafsen neu anordnen mufs: f. 57—211, 234, 235, 212—233, 268, 269, 236—253, darnach erste Lücke (1 Blatt), 254—261, darnach zweite Lücke (1 Blatt), 270, 262—265, 267, darnach dritte Lücke (1 Blatt), 289, 290, 266, 271, 272, darnach vierte Lücke (1 Blatt), 280, 273, 274, 291, 277, 275, 278, 276, darnach fünfte Lücke (1 Blatt), 279, 281, 284, 282, 283, 288, 285—287, darnach sechste Lücke (gegen 12 Blätter), 292, darnach siebente Lücke (2 Blätter), 293, darnach achte Lücke bis zum Schlufs (gegen 28 Blätter).

Erste Lücke: von *ταραχὰς μεγίστας κατὰ τοῦ ἀρχιεπισκόπου Ἀμβροσίου* ab bis *τοὺς περὶ Οὐαλεντινιανὸν* (Migne 596A—597C). — Zweite Lücke: von *ἐκ τοῦ ἐναντίου δὲ καὶ ὁ Ἀπόστολος* ab bis *τελοῦντες τὴν τοῦ Πάσχα ἑορτὴν* (625B—628C). — Dritte Lücke: von *ἐπηκολούθησε δὲ αὐτοῖς καὶ Σεληνᾶς* ab bis *χρόνον τινὰ καὶ ἐν Μακεδονιανοῖς διχόνοια* (648A—649A). — Vierte Lücke: von *ἐκ τῆς Ἀντιοχείας μεταπέμπεσθαι Ἰωάννην* ab bis *καὶ ἄδικον βίον* (661C —666A). — Fünfte Lücke: von *φρονούντων λέγοντες οὐκ ἐπαύοντο* ab bis *μὴ γὰρ εἰδέναι τὸ γεγονὸς ἔλεγεν* (689A—692B). — Sechste Lücke: von *οὖν ἐθάρρει ἐπὶ τούτοις καὶ ἠξίου ἐπιζητεῖσθαι τὰ κατηγορούμενα* ab bis *Περὶ Μαρουθᾶ τοῦ Μεσοποταμίας ἐπισκόπου*



Brought to you by | Nanyang Technological University
Authenticated
Download Date | 6/3/15 3:41 AM

(717B — 752B). — Siebente Lücke: von *διὸ καὶ αὖθις πολλοὺς αὐτῶν ἐτιμωρήσατο* ab bis *τὰς Ναυατιανῶν ἐκκλησίας* (753B — 760B). — Achte Lücke: von *εἰκὸς εἰ μὴ παύσαιντο κατὰ Χριστιανῶν στασιάζοντες* ab bis *ἑπτακαιδεκάτῃ ὑπατείᾳ τοῦ βασιλέως Θεοδοσίου δέδοτο* (764A — 841 Schlufs).

Dieser auch sonst recht interessante Codex des Sokrates ist besonders dadurch wertvoll, dafs er das elfte Kapitel des VI. Buches der Kirchengeschichte in einer von der Vulgata sehr abweichenden Form bietet. Die Fassung des Athoscodex enthält weit mehr als die gedruckten Ausgaben; und nur wenige Stellen der Vulgata fehlen im Codex von Xeropotamu: es sind gerade diejenigen, bei denen eine engere Beziehung zwischen Sokrates und Sozomenos (VIII 1) zu bemerken ist.

Ich gebe hier die Fassung des Codex neben dem Texte der Migneschen Ausgabe (S. 696 — 700). Auch in diesem Kapitel ist die Reihenfolge der Blätter im Athous verwirrt: es folgen sich fol. 281v, 284, 282. Im Anfange findet sich bis auf einige divergierende Lesarten kein erheblicher Unterschied zwischen dem Texte bei Migne und dem des Codex: ich beginne die Vergleichung also erst von dem Punkte ab, wo sich die ersten wesentlichen Abweichungen zeigen.

| Athous. | Migne. |
| --- | --- |
| .... f. 284r .... *Ἐπειδὴ δὲ ἐν τοσούτῳ συνέβη τῆς Ἐφέσου τελευτῆσαι τὸν ἐπίσκοπον, ἀνάγκη κατέλαβε τὸν Ἰωάννην εἰς τὴν Ἔφεσον ἀπελθεῖν ἐπὶ τῷ χειροτονῆσαι ἐπίσκοπον. καὶ γενόμενος ἐν αὐτῇ, ἄλλων τε*[1]) *ἄλλον προβάλλεσθαι σπουδαζόντων καὶ σφόδρα διαπληκτιζομένων πρὸς ἑαυτοὺς περὶ ὧν ἕκαστος ἐψηφίζετο, αὐτὸς Ἡρακλείδην διάκονον ἑαυτοῦ γένει Κύπριον εἰς τὴν ἐπισκοπὴν προεβάλετο· γενομένης δὲ ἐπὶ τούτῳ*[2]) *στάσεως ἐν τῇ Ἐφέσῳ ὡς οὐκ ἀξίου πρὸς τὴν ἐπισκοπὴν τοῦ Ἡρακλείδου, ἀνάγκη γέγονε χρονίζειν τὸν Ἰωάννην κατὰ τὴν Ἔφεσον. Συνιδὼν οὖν ὁ Ἰωάννης* | *Ἐπειδὴ δὲ ἐν τοσούτῳ συνέβη τῆς Ἐφέσου τελευτῆσαι τὸν ἐπίσκοπον, ἀνάγκη κατέλαβε τὸν Ἰωάννην εἰς τὴν Ἔφεσον ἀπελθεῖν ἐπὶ τῷ χειροτονῆσαι ἐπίσκοπον· καὶ γενόμενος ἐν αὐτῇ, ἄλλον τε ἄλλων προβάλλεσθαι σπουδαζόντων, καὶ σφόδρα διαπληκτιζομένων πρὸς ἑαυτοὺς περὶ ὧν ἕκαστος ἐψηφίζετο, συνιδὼν ὁ Ἰωάννης ἀμφότερα τὰ μέρη φιλονείκως διακείμενα, καὶ ἐν οὐδενὶ πείθεσθαι τῇ παραινέσει αὐτοῦ θέλοντα, ἐσπού-* |

1) Cod. *τὲ*.
2) Cod. *τούτω*.

Brought to you by | Nanyang Technological Univers
Authenticated
Download Date | 6/3/15 3:41 AM

ἀμφότερα τὰ μέρη φιλονείκως διακείμενα καὶ ἐν οὐδενὶ πείθεσθαι τῇ παραινέσει αὐτοῦ θέλοντα, ἐσπούδασεν ἀκοπιαστὶ τὴν τούτων ἔριν λῦσαι[1]· αὐτὸς τοίνυν ὡς εἴρηται Ἡρακλείδην τινὰ διάκονον ἑαυτοῦ γένει Κύπριον εἰς τὴν ἐπισκοπὴν προεβάλλετο· καὶ οὕτως ἀμφότερα μέρη, παυσάμενα τῆς πρὸς σφᾶς φιλονεικίας, ἡσύχασαν· παρέλκοντος δὲ αὐτοῦ κατ' αὐτήν, ὁ Σεβηριανὸς[2] ἐν τῇ Κωνσταντινουπόλει ἐρασμιώτερος τοῖς ἀκροαταῖς ἐγίνετο· καὶ ταῦτα οὐκ ἐλάνθανε τὸν Ἰωάννην. Ταχέως γὰρ αὐτῷ τὰ γινόμενα διηγγέλλετο παρὰ Σαραπίωνος, ὃς πάνυ ἠγαπᾶτο παρὰ τοῦ Ἰωάννου καὶ πᾶσαν τὴν περὶ τὸ ἐπισκοπεῖον φροντίδα ἐγκεχείριστο διὰ τὸ εὐλαβὲς αὐτοῦ καὶ ἐν πᾶσι πιστὸν καὶ περὶ πάντα νηφάλιον[3] καὶ σπουδαῖον περὶ τὴν τοῦ ἐπισκόπου συγκρότησιν· ἀλλ' οὐκ εἰς μακρὰν Ἰωάννης ὁδοῦ πάρεργον πολλὰς ἐκκλησίας Ναυατιανῶν καὶ || f. 284v Τεσσαρεσκαιδεκαδιτῶν ἀφελὼν ἐπὶ τὴν Κωνσταντινούπολιν ἔρχεται. Καὶ αὐτὸς μὲν πάλιν τὴν προσήκουσαν κηδεμονίαν τῶν ἐκκλησιῶν ἐποιεῖτο· μεταξὺ δὲ Σαραπίωνος τοῦ διακόνου καὶ Σεβηριανοῦ τοῦ ἐπισκόπου πολλή τις[4] ἦν μικροψυχία, τοῦ μὲν Σαραπίωνος ἀντικειμένου τῷ Σεβηριανῷ, διὰ τὸ ἐθέλειν αὐτὸν ἐν ταῖς διαλέξεσι παρευδοκιμεῖν τοῦ Ἰωάννου, τοῦ δὲ Σεβηριανοῦ ζηλοῦντος τὸν Σαραπίωνα διὰ τὸ προσκεῖσθαι αὐτῷ Ἰωάννην τὸν ἐπίσκοπον καὶ πᾶσαν τὴν φροντίδα

δασεν ἀκοπιαστὶ τὴν τούτων ἔριν λῦσαι. Αὐτὸς τοίνυν Ἡρακλείδην τινὰ διάκονον ἑαυτοῦ, γένει Κύπριον, εἰς τὴν ἐπισκοπὴν προεβάλλετο· καὶ οὕτω ἀμφότερα τὰ μέρη, παυσάμενα τῆς πρὸς σφᾶς φιλονεικίας, ἡσύχασαν· ἀνάγκη οὖν γέγονε χρονίζειν τὸν Ἰωάννην κατὰ τὴν Ἔφεσον. Παρέλκοντος δὲ αὐτοῦ κατ' αὐτήν, ὁ Σεβηριανὸς ἐν τῇ Κωνσταντινουπόλει ἐρασμιώτερος τοῖς ἀκροαταῖς ἐγίνετο. Καὶ ταῦτα οὐκ ἐλάνθανε μὲν τὸν Ἰωάννην· ταχέως γὰρ αὐτῷ τὰ γινόμενα διηγγέλλετο· Σαραπίωνος δέ, οὗ καὶ πρότερον ἐποιησάμην μνήμην, ὑποβάλλοντος καὶ ταράττεσθαι λέγοντος ὑπὸ Σεβηριανοῦ τὴν ἐκκλησίαν, πρὸς ζηλοτυπίαν ὁ Ἰωάννης προήχθη. Ὁδοῦ οὖν πάρεργον, πολλὰς ἐκκλησίας Ναυατιανῶν καὶ Τεσσαρεσκαιδεκατιστῶν ἀφελών, ἐπὶ τὴν Κωνσταντίνου πόλιν ἔρχεται. Καὶ αὐτὸς μὲν πάλιν τὴν προσήκουσαν κηδεμονίαν τῶν ἐκκλησιῶν ἐποιεῖτο· Σαραπίωνος δὲ τὴν ὀφρῦν καὶ τὴν ἀλαζονείαν οὐδεὶς ὑποφέρειν ἐδύνατο. Ἐπεὶ γὰρ πολλὴν τὴν παρρησίαν

1) Cod. λύσαι.
2) Cod. σενηριανὸς οὔ durchgehend.
3) Cod. νηφάλεον.
4) Cod. τὶς.



Brought to you by | Nanyang Technological Univer
Authenticated
Download Date | 6/3/15 3:41 AM

ἐγχειρισθῆναι τοῦ ἐπισκοπείου. Οὕτω δὲ πρὸς ἀλλήλους ἐχόντων, συνέβη τὴν κακίαν τοῦ μίσους ἐπὶ πλεῖον προελθεῖν ἐξ αἰτίας τοιᾶςδε. Ποτὲ γὰρ τοῦ Σεβηριανοῦ παριόντος, τὴν προςήκουσαν ἐπισκόπῳ τιμὴν ὁ Σαραπίων οὐκ ἀπένειμεν, ἀλλὰ καθήμενος διετέλει, ἢ μὴ ἑωρακὼς αὐτὸν, ὡς ὕστερον ἐπὶ τοῦ συνεδρίου μεθ' ὅρκων ἐβεβαιοῦτο, ἢ μικρὰ φροντίσας ὡς κατ' ἐπισκόπου παρουσίας, καθὼς ἔλεγε Σεβηριανὸς, οὐκ ἔχω λέγειν· θεὸς μόνος ἴστω. Τότε δὲ Σεβηριανὸς οὐκ ἤνεγκεν τὴν τοῦ Σαραπίωνος καταφρόνησιν, ἀλλὰ παρ' αὐτὰ καὶ πρὸ κοινῆς διαγνώσεως συνεδρίου μεθ' ὅρκου κατακρίνει τὸν Σαραπίωνα, καὶ οὐ μόνον τῆς ἀξίας τοῦ διακόνου ἀποκηρύττει, ἀλλὰ καὶ τῆς ἐκκλησίας αὐτῆς. Μαθὼν δὲ ταῦτα ὁ Ἰωάννης βαρέως ἤνεγκεν. Τοῦ δὲ πράγματος μετὰ ταῦτα ζητουμένου ἐπὶ συνεδρίου καὶ τοῦ Σαραπίωνος ἀπολογουμένου καὶ πιστουμένου τοῦ μὴ ἑωρακέναι, ἀλλὰ καὶ μάρτυρας παράγοντος, τὸ μὲν κοινὸν τῶν συνεληλυθότων ἐπισκόπων συνε || f. 282r || γίνωσκε καὶ παρεκάλει τὸν Σεβηριανὸν δέξασθαι ἀπολογούμενον τὸν Σαραπίωνα. Ὁ δὲ ἐπίσκοπος Ἰωάννης πρὸς πληροφορίαν Σεβηριανοῦ ἀφορίζει τὸν Σαραπίωνα ἑβδομάδας ἀποστήσας τῆς τιμῆς τοῦ διακόνου, καίτοι ἐν πᾶσι τοῖς πράγμασι δεξιὰν χεῖρα[1]) ἔχων αὐτὸν καὶ περὶ τὰς ἐκκλησιαστικὰς ἀποκρίσεις ὀξύτατον καὶ σπουδαῖον ὄντα. Σεβηριανὸς δὲ

παρὰ τῷ ἐπισκόπῳ Ἰωάννῃ ἐκέκτητο, πέρα τοῦ καθήκοντος πᾶσι προςεφέρετο. Διὸ καὶ τὸ κατὰ τοῦ ἐπισκόπου μῖσος πλέον ἐξήπτετο· καί ποτε τοῦ Σεβηριανοῦ παριόντος, τὴν προςήκουσαν ἐπισκόπῳ τιμὴν οὐκ ἀπένειμεν· ἀλλὰ καθήμενος διετέλει, δεικνὺς μικρὰ φροντίζειν τῆς Σεβηριανοῦ παρουσίας· ταύτην οὐκ ἤνεγκεν ὁ Σεβηριανὸς τὴν τοῦ Σαραπίωνος καταφρόνησιν· καὶ πρὸς τούτοις μέγα ἀνακέκραγεν εἰπὼν Εἰ Σαραπίων Χριστιανὸς ἀποθάνοι, Χριστὸς οὐκ ἐνηνθρώπησε. Ταύτης τῆς ἀφορμῆς ὁ Σαραπίων δραξάμενος, φανερῶς ἐχθρὸν τὸν Σεβηριανὸν τῷ Ἰωάννῃ κατέστησεν, ἀποκρύψας μὲν τὸν προςδιορισμὸν τοῦ Εἰ ὁ Σαραπίων Χριστιανὸς ἀποθάνοι· μόνον δὲ εἰρηκέναι εἰπὼν τὸν Σεβηριανὸν, Ἄρα Χριστὸς οὐκ ἐνηνθρώπησε. Καὶ τὸ στίφος ἑαυτοῦ μάρτυρας ὡς ἐπὶ εἰρημένῳ τούτῳ παρῆγε. Μὴ μελλήσας οὖν ὁ Ἰωάννης ἐξελαύνει αὐτὸν τῆς πόλεως. Καὶ γνοῦσα ταῦτα ἡ Αὐγοῦστα Εὐδοξία, μέμφεται μὲν τῷ Ἰωάννῃ· παρα-

1) Cod. χεῖραν.

Brought to you by | Nanyang Technological Univers
Authenticated
Download Date | 6/3/15 3:41 AM

*οὐδ' οὕτως ἐπείθετο, ἀλλὰ παντοῖος ἐγίνετο τελείως ἀποκηρυχθῆναι τῆς διακονίας τὸν Σαραπίωνα καὶ τῆς κοινωνίας. Λυπηθεὶς σφόδρα ἐπὶ τούτοις Ἰωάννης καὶ ἀναστὰς ἀπὸ τοῦ συνεδρίου κατέλιπεν τοῖς παροῦσιν ἐπισκόποις τὰ τῆς δίκης, εἰρηκὼς πρὸς αὐτοὺς Τὸ παριστάμενον ὑμῖν καταξιώσατε αὐτοὶ διαλαβόντες καὶ κρίναντες ὁρίσαι· ἐγὼ γὰρ παραιτοῦμαι τὴν μεταξὺ αὐτῶν διάγνωσιν. Τούτων λεχθέντων ὑπὸ Ἰωάννου καὶ ἀναστάντος αὐτοῦ ὁμοίως καὶ τὸ*[1]) *κοινὸν τοῦ συνεδρίου ἀναστὰν κατέλιπεν οὕτω τὰ τῆς δίκης, καταμεμφόμενοι*[2]) *μᾶλλον Σεβηριανὸν*[3]) *διὰ τὸ μὴ εἶξαι τοῖς κριθεῖσι παρὰ τοῦ ἐπισκόπου Ἰωάννου. Τοῦ λοιποῦ δὲ οὐκέτι εἰς συντυχίαν τὸν Σεβηριανὸν Ἰωάννης ἐδέξατο, ἀλλ' εἰς τὴν πατρίδα τὴν ἑαυτοῦ ἐκδημεῖν αὐτὸν παρεκελεύετο, δηλώσας αὐτῷ τοιάδε· Οὐκ ἔστι χρήσιμόν φησιν*[4]), *ὦ Σεβηριανὲ, ἐν τοσούτῳ χρόνῳ τὴν ἐμπιστευθεῖσάν*[5]) *σοι παροικίαν ἀπρονόητον καὶ ἐκτὸς ἐπισκόπου τυγχάνειν· διὸ σπεύσας κατάλαβε τὰς ἐκκλησίας σου καὶ μὴ ἀμέλει*

*σκευάζει δὲ ἢ τάχος καλεῖσθαι τὸν Σεβηριανὸν ἐκ τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος. Καὶ ὁ μὲν ὅσον οὐδέπω παρῆν· Ἰωάννης δὲ τὴν πρὸς αὐτὸν φιλίαν ἐξέκλινε, καὶ οὐδενὶ παραινοῦντι πειθήνιος ἦν· ὡς καὶ ἡ βασίλισσα Εὐδοξία ἐν τῇ ἐπωνύμῳ τῶν Ἀποστόλων ἐκκλησίᾳ, τὸν υἱὸν Θεοδόσιον τὸν νῦν εὐτυχῶς βασιλεύοντα, κομιδῇ τότε νήπιον ὄντα, εἰς τὰ γόνατα τοῦ Ἰωάννου ἐμβαλοῦσα καὶ ὅρκους κατ' αὐτοῦ πολλοὺς καθορκώσασα, μόλις τὴν πρὸς Σεβηριανὸν ἔπεισε φιλίαν ἀσπάσασθαι. Τοῦτον μὲν οὖν τὸν τρόπον οὗτοι κατὰ τὸ φανερὸν ἐφιλιώθησαν· ἔμενον δὲ οὐδὲν ἧττον τὴν γνώμην ὕπουλον πρὸς ἀλλήλους φυλάττοντες. Ἡ μὲν οὖν ὑπόθεσις τῆς πρὸς Σεβηριανὸν λύπης τοιαύτη τις ἦν.*

*τοῦ χαρίσματος τοῦ ἐν σοί. Ἤδη δὲ στειλαμένου αὐτοῦ ἐπὶ τὴν ὁδοιπορίαν, γνοῦσα ταῦτα ἡ αὐγούστα Εὐδοξία, μέμφεται μὲν*[6]) *τῷ Ἰωάννῃ, παρασκευάζει δὲ ἢ τάχος καλεῖσθαι τὸν Σεβηριανὸν* ‖ f. 282v *ἐκ τῆς ἐν Βιθυνίᾳ Καλχηδόνος. Καὶ ὁ μὲν ὅσον οὐδέπω παρῆν· Ἰωάννης δὲ*[7]) *τὴν πρὸς αὐτὸν φιλίαν ἐξέκλινεν καὶ οὐδενὸς παρα-*

1) Cod. τοῦ.
2) Zu lesen καταμεμφόμενον?
3) Cod. σεvηριανὸν korrigiert aus dem zunächst geschriebenen σεvηριανοῦ.
4) Cod. χρήσιμον φησίν.
5) Cod. ἐμπιστευθεῖσαν.
6) Cod. μὲν.
7) Cod. δὲ. Ebenfalls unten.

Brought to you by | Nanyang Technological University
Authenticated
Download Date | 6/3/15 3:41 AM

καλοῦντος ἐπείθετο, ἕως ἡ βασίλισσα Εὐδοξία ἐν τῇ ἐπωνύμῳ τῶν Ἀποστόλων ἐκκλησίᾳ τὸν υἱὸν Θεοδόσιον τοῦτον τὸν νέον, τότε κομιδῇ νήπιον ὄντα, εἰς τὰ γόνατα τοῦ Ἰωάννου ἐμβαλοῦσα καὶ ὅρκους κατ' αὐτοῦ πολλοὺς καθορκώσασα, μόλις τὴν πρὸς Σεβηριανὸν ἔπεισε φιλίαν ἀσπάσασθαι. Τοῦτον μὲν οὖν τὸν τρόπον οὗτοι κατὰ τὸ φανερὸν ἐφιλιώθησαν· ἔμενον δὲ οὐδὲν ἧττον τὴν γνώμην ὕπουλον πρὸς ἀλλήλους φυλάττοντες. Ἡ μὲν οὖν ὑπόθεσις τῆς πρὸς Σεβηριανὸν λύπης τοιαύτη τις[1]) ἦν.

Athen. **Spyr. P. Lambros.**

---

1) Cod. τίς.

Brought to you by | Nanyang Technological Universi
Authenticated
Download Date | 6/3/15 3:41 AM